**δολιχόουρος / dolichuros**

[Herodian.] 186 στίχος ἐστὶ συλλαβῶν καὶ λέξεων σύνθεσις δηλωτικὸς συμμετρίας καὶ μεγέθους. εἴδη δὲ στίχων εἰσὶ δεκαδύο· ἰσόχρονος, ἀπηρτισμένος, ἀκέφαλος, λαγαρὸς, μείουρος, τραχὺς, μαλακοειδὴς, κακόφωνος, λογοειδὴς, προκέφαλος, σφηκίας, δολιχόουρος … 188. 12 δολιχόουρος δὲ οἷον· ([Hom.] *Il.* III 237)

Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

Evstath. in [Hom.] *Il.* III 237 sq. (I, p. 645. 18 sqq. Valk) ὅρα δέ, [ὅτι τε δυνάμενος Ὅμηρος 'Πολυδεύκην' εἰπεῖν κοινῶς, ὅμως εἵλετο ἰωνίσαι καὶ γράψαι Πολυδεύκεα, ἐξ οὗ πάθος γέγονε στιχηρόν, λεγόμενον ὑπέρμηκες, τὸ δ᾽ αὐτὸ καὶ δολιχόουρον,] καὶ ὅτι τοὺς αὐτοκασιγνήτους ἑρμηνεύουσά φησι· (v. 238) 'οὕς μοι μία γείνατο μήτηρ', πρὸς οὓς δηλαδὴ γνησιώτερον οἱ πολλοὶ διάκεινται ἤπερ πρὸς τοὺς ὁμοπατρίους μέν, ἀμφιμητρίους δέ, ὡς δηλώσει που καὶ ἐν τοῖς ἑξῆς τό· ([Hom.] *Il.* XXI 95)

ἐπεὶ οὐχ᾽ ὁμογάστριος Ἕκτορός εἰμι.

Anon. Ambr. 214. 1 sqq. δολιχόουροι δὲ (*scil.* στίχοι) εἰσὶν οἱ κατὰ τὸ τέλος πλεονάζουσαν ἔχοντες συλλαβήν, οἱονεὶ μακροτέραν ἔχοντες τὴν οὐράν. εἰσὶ δὲ οἵδε· ([Hom.] *Il.* II 96)

λαῶν ἱζόντων, ὅμαδος <δ᾽> ἦν, ἐννέα δέ σφεας,

καὶ πάλιν· ([Hom.] *Od.* IX 347)

Κύκλωψ τῇ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Anon. *de hex.* 349. 27 sq. παντὸς δὲ μέτρου ἓξ πάθη εἰσίν, κατὰ μὲν πλεονασμὸν τρία καὶ κατ᾽ ἔλλειψιν τρία. κατὰ μὲν πλεονασμόν εἰσι ταῦτα ... 350. 7 sqq. δολιχόουρον τὸ <καὶ> μακροσκελές, τὸ περὶ τέλος ἔχον περισσὴν συλλαβήν, ἢ ἁπλῶς ἢ ἐκ συνιζήσεως, ὡς τό· ([Hom.] *Il.* III 237)

Κάστορα θ᾽ ἱππόδαμον <καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα>

καὶ <τό>· ([Hom.] *Od.* IX 347)

Κύκλωψ τῇ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

App. Dion. 322. 8 sq. γίνεται δὲ κατὰ ἓξ τρόπους τὰ ἔπη χωλά· ἤτοι κατὰ πλεονασμὸν ἢ κατ᾽ ἔνδειαν ... 323. 5 sqq. τὰ δὲ πρὸς τῷ τέλει πλέον ἔχοντα τοῦ μέτρου δολιχόουρα καλεῖται, οἷον· ([Hom.] *Od.* V 231)

λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ᾽ ἰξύι.

Schol. B in Hephaest. 288. 22 sqq. γίνονται τὰ ἔπη χωλὰ ἢ κατὰ πλεονασμὸν ἢ κατ᾽ ἔνδειαν. ἑκατέρου δὲ τούτων διαιρουμένου κατά τε τὴν ἀρχὴν <καὶ> τὸ μέσον καὶ τὸ τέλος γίνονται τρόποι ἕξ· ἐν μὲν τῇ ἀρχῇ δύο, ὁ προκέφαλος καὶ <ὁ> ἀκέφαλος, ἐν τῷ μέσῳ δὲ ὁ προκοίλιος καὶ ὁ λαγαρός, ἐν δὲ τῷ τέλει ὁ δολιχόουρος, ὃν καὶ μακροσκελῆ φασι, καὶ ὁ μείουρος· οὓς καὶ πάθη τῶν στίχων φασί … 290. 1 sqq. δολιχόουρος δὲ ὁ κατὰ τὸ τέλος πλεονάζων συλλαβῇ, οἷον· ([Hom.] *Od.* V 231)

λεπτὸν καὶ χάριεν, περὶ δὲ ζώνην βάλετ᾽ ἰξύι·

Aldhelm. 94. 13 sqq. quot pathos in dactilico exametro inserta adstipularis vel quid sunt pathos? pathos quidem latina lingua passiones dicuntur, sunt autem numero sex: acefalos, procefalos, lagaros, procilios, dolichuros, miuros vel spicodis. [*M.E.*]